# ÉDITION 2024

GREC ANCIEN

COLLÈGE

TEXTE EN VERS

ΕΛΕΝΗ

Φίλαι γυναῖκες, τίνι πότμωι συνεζύγην ;
Ἆρ’ ἡ τεκοῦσά μ’ ἔτεκεν ἀνθρώποις τέρας ;
γυνὴ γὰρ οὔθ’ Ἑλληνὶς οὔτε βάρϐαρος
τεῦχος νεοσσῶν λευκὸν ἐκλοχεύεται,
ἐν ᾧ με Λήδαν φασὶν ἐκ Διὸς τεκεῖν.
Τέρας γὰρ ὁ βίος καὶ τὰ πράγματ’ ἐστί μου,
τὰ μὲν δι’ Ἥραν, τὰ δὲ τὸ κάλλος αἴτιον.
Εἴθ’ ἐξαλειφθεῖσ’ ὡς ἄγαλμ’ αὖθις πάλιν
αἴσχιον εἶδος ἀντὶ τοῦ καλοῦ ῎λαϐον,
καὶ τὰς τύχας μὲν τὰς κακὰς ἃς νῦν ἔχω
Ἕλληνες ἐπελάθοντο, τὰς δὲ μὴ κακὰς
ἔσῳζον ὥσπερ τὰς κακὰς σῴζουσί μου.
Ὅστις μὲν οὖν ἐς μίαν ἀποϐλέπων τύχην
πρὸς θεῶν κακοῦται, βαρὺ μέν, οἰστέον δ’ ὅμως·
ἡμεῖς δὲ πολλαῖς συμφοραῖς ἐγκείμεθα.

Euripide, *Hélène*, Ve siècle av. J.-C.